γίνεται ζῷον, εἶτα ἄνθρωπος. Τῇ δὲ τελειότητι καὶ τῇ φυσικῇ τάξει πρότεραί εἰσιν αἱ τελειότεραι ὡς τέλη καὶ ὡς ποιητικαὶ ἀρχαί· εἰσὶ μέντοι γε οὐδὲν ἧττον καὶ ἅμα, ὥσπερ ἡ δύναμις τῆς ψυχῆς, ἐκ τῆς οὐσίας αὐτῆς προϊοῦσα οὐ μεταβολῇ ἀλλὰ φυσικῇ ἀναλογίᾳ, ὡς εἴρηται, ἔστιν ἅμα τῇ ψυχῇ. Εἰ δὲ καὶ τὸ συμβεβηκὸς οὐ γίνεται ὑποκείμενον ἄλλου συμβεβηκότος καθ' αὑτό, οὐ κυρίως, ἀλλ' ἢ ἓν συμβεβηκὸς ἄλλου πρότερον ἐγγίνεται τῷ ὑποκειμένῳ, ὡς ἡ ποσότης πρότερον ἐγγίνεται τῆς ποιότητος, τὸ προεγγινόμενον ὑποκεῖσθαι λέγεται τῷ λοιπῷ, ὡς ἡ ἐπιφάνεια ὑπόκειται τῷ χρώματι, ὅτι ἡ οὐσία, τοῦ ἑνὸς συμβεβηκότος μεσιτεύοντος ἤτοι τῆς ἐπιφανείας, δέχεται θάτερον.

Καὶ εἰ αἱ τῆς ψυχῆς δυνάμεις ἀντίκεινται ὡς τὸ τέλειον καὶ ἀτελές, ὡς τὰ τῶν ἀριθμῶν καὶ σχημάτων εἴδη, ἀλλ' ἡ ἀντίθεσις αὕτη οὐ κωλύει τὴν πρόοδον τοῦ ἑνὸς ἀπὸ τοῦ ἄλλου· ἀπὸ γὰρ τῶν τελείων τὰ ἀτελῆ φύσει προΐασιν.

8. Ὅτι οὐ πᾶσαι αἱ δυνάμεις μένουσιν ἐν τῇ ψυχῇ χωρισθείσῃ· αἱ γὰρ δυνάμεις αἱ παραβαλλόμεναι πρὸς τὴν ψυχὴν ὡς ὑποκείμενον, ὥσπερ ὁ νοῦς καὶ ἡ βούλησις, μένουσι προδήλως, ἅτε παραβαλλόμεναι ὡς πρὸς ἀρχήν· αἱ δὲ ἐν ὑποκειμένῳ οὖσαι τῷ συναμφοτέρῳ, ὡς αἱ τοῦ αἰσθητικοῦ καὶ θρεπτικοῦ πᾶσαι, οὐ μένουσιν· πῶς γὰρ μενεῖ τὸ συμβεβηκός, φθαρέντος τοῦ ὑποκειμένου; ἀλλὰ δυνάμει μόνον εἰσὶν ἐν τῇ ψυχῇ ὡς ἐν ἀρχῇ ἢ ὡς ῥίζῃ.

Ἡ δὲ λύπη καὶ ἡ χαρὰ λέγεται εἶναι ἐν τῇ χωρισθείσῃ ψυχῇ οὐ κατὰ τὴν αἰσθητικὴν ἔφεσιν, ἀλλὰ κατὰ τὴν νοεράν, ὡς ἐν τοῖς ἀγγέλοις· ὡσαύτως δὲ καὶ ἡ μνήμη, νοερῶς, οὐχ ὡς ἔστι μέρος τῆς αἰσθητικῆς δυνάμεως.

## LXXVIII. — Περὶ τῶν δυνάμεων εἰδικῶς, καὶ πρῶτον περὶ τῶν προοδοποιούντων εἰς τὸν νοῦν.

1. Ὅτι αἱ τῆς ψυχῆς δυνάμεις εἰς πέντε διακρίνονται γένη· φυτικόν, αἰσθητικόν, ἐφιέμενον, κατὰ τόπον κινητικόν, καὶ νοερόν, ὡς ἐν τρίτῳ περὶ ψυχῆς λέγεται.

Ἰστέον γάρ, ὅτι τὰ μὲν εἴδη τῶν ψυχῶν διακρίνονται καθὸ ἡ τῆς f. 250
ψυχῆς ἐνέργεια διαφόρως ἐπιγίνεται τῇ ἐνεργείᾳ τῆς σωματικῆς φύσεως· ὅλη γὰρ ἡ σωματικὴ φύσις ὑπόκειται τῇ ψυχῇ καὶ παραβάλλεται πρὸς αὐτὴν ὥσπερ ὕλην πρὸς ὄργανον. Ἔστι τοίνυν ἐνέργειά τις τῆς ψυχῆς ἐπὶ τοσοῦτον ὑπερβαίνουσα τὴν σωματικὴν φύσιν, ὥστε μηδὲ δι' ὀργάνου σωματικοῦ ἐνεργεῖν· καὶ αὐτή ἐστιν ἡ τῆς λογικῆς φύσεως ἐνέργεια. Ἔστιν ὑπὸ ταύτην ἄλλη, γινομένη μὲν δι' ὀργάνου σωματικοῦ, οὐ μὴν διά τινος

---

28 dans la marge inférieure de A: *Περὶ τῶν προοδοποιούντων εἰς τὸν νοῦν*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ποιότητος σωματικῆς· καὶ αὕτη ἐστὶν ἡ τῆς αἰσθητικῆς ψυχῆς ἐνέργεια· εἰ γὰρ καὶ ζητοῦνται πρὸς τὴν τῆς αἰσθήσεως ἐνέργειαν αἱ σωματικαὶ ποιότητες, ἀλλ' οὐχ ὥστε μεσιτευούσης τῆς αὐτῶν δυνάμεως προϊέναι τὴν ἐνέργειαν τῆς αἰσθητικῆς ψυχῆς, ἀναγκαίας δὲ μόνον εἶναι πρὸς τὴν δέουσαν τοῦ ὀργάνου διάθεσιν. Ἐσχάτη καὶ τρίτη ἐστὶν ἡ δι' ὀργάνου σωματικοῦ γινομένη καὶ δυνάμει σωματικῆς ποιότητος. Ἐπιγίνονται δὲ αὗται τῇ τῆς σωματικῆς φύσεως ἐνεργείᾳ διὰ τὸ τὰς τῶν σωμάτων κινήσεις ἔξωθεν ἔχειν τὰς ἀρχάς, τῶν δὲ τοιούτων ἐνεργειῶν ἔνδοθεν εἶναι τὴν ἀρχήν· τοῦτο γὰρ κοινὸν πάσαις τῆς ψυχῆς ἐνεργείαις. Πᾶν γὰρ ἔμψυχον κινεῖ ἑαυτὸ τρόπον τινά, καὶ ἔστιν ἡ τοιαύτη ἐνέργεια τῆς φυτικῆς ψυχῆς· ἡ γὰρ πέψις καὶ τὰ ταύτῃ ἑπόμενα ὀργανικῶς γίνεται διὰ τῆς ἐνεργείας τῆς θέρμης. Οὕτω μὲν οὖν τρεῖς λέγονται εἶναι ψυχαί.

Τὰ δὲ γένη τῶν ψυχικῶν δυνάμεων κατὰ τὰ ἀντικείμενα διακρίνονται· ὅσῳ γὰρ ἡ δύναμις ὑψηλοτέρα, τοσοῦτον εἰς καθολικώτερον ἀντικείμενον φέρεται· τὸ δ' ἀντικείμενον τῆς ψυχικῆς ἐνεργείας ἢ τὸ τῇ ψυχῇ ἡνωμένον σῶμά ἐστι μόνον, καὶ τοῦτο τῶν δυνάμεων τῆς ψυχῆς τὸ γένος φυτικὸν λέγεται· ἡ γὰρ φυτικὴ δύναμις εἰς μόνον ἀφορᾷ ᾗ ἐνεργεῖ τὸ τῇ ψυχῇ ἡνωμένον σῶμα· ἢ καθολικώτερόν ἐστιν, ὥσπερ πᾶν τὸ αἰσθητὸν σῶμα, καὶ οὐ μόνον τὸ τῇ ψυχῇ ἡνωμένον· ἢ καὶ ἔτι καθολικώτερον, ὥσπερ πᾶν ὂν καθόλου. Ἐξ οὗ δῆλον, ὅτι δύο ταῦτα γένη δυνάμεων τῆς ψυχῆς ἔχουσιν ἐνέργειαν οὐ μόνον πρὸς τὸ συνημμένον αὐταῖς πρᾶγμα, ἀλλὰ καὶ πρὸς τὸ ἔξω. Ἐπεὶ δὲ ἀνάγκη τὸ ἐνεργοῦν συνῆφθαι τρόπον τινὰ τῷ ἰδίῳ ἀντικειμένῳ περὶ ὃ ἐνεργεῖ, ἐκεῖνο τὸ ἔξω ἀντικείμενον ᾗ συνάπτεται τῇ ψυχῇ καὶ ἐν τῇ ψυχῇ ἐστι κατὰ τὴν αὐτῆς ὁμοιότητα, καὶ οὕτω γένη δύο
f. 250v δυνάμεων εἰσί· τὸ αἰσθητικόν, | ᾧ ἀντικείμενον τὸ αἰσθητικὸν σῶμα, ἧττον κοινὸν ὄν· καὶ τὸ νοερόν, τῇ πρὸς τὸ κοινότερον ἀντικείμενον παραθέσει, ἤγουν τὸ καθόλου καὶ πᾶν ὄν· ᾗ αὐτὴ ἡ ψυχὴ μᾶλλον ῥέπει καὶ φέρεται εἴς τι ἔξωθεν, καὶ οὕτω δύο γένη εἰσὶ δυνάμεων, θάτερον μὲν τὸ ἐφιέμενον, ὅπερ παραβάλλεται εἰς τὸ ἔξω ὡς εἰς τέλος, ὅπερ ἐστὶν ἀρχὴ τῷ σκοπῷ· τὸ δὲ λοιπόν, τὸ κατὰ τόπον κινητικόν, καθὸ ἡ ψυχὴ παραβάλλεται πρὸς τὸ ἔξω ὥσπερ πρὸς ὅρον τῆς παραβολῆς καὶ τῆς κινήσεως· πᾶν γὰρ ζῷον πρὸς τὸ τυχεῖν τινος ἐφετοῦ καὶ οὗ σκοπεῖ, κινεῖται.

Καὶ οὕτω πέντε γένη εἰσὶ τῶν ψυχικῶν δυνάμεων τὰ προειρημένα. Οἱ δὲ τοῦ ζῆν τρόποι κατὰ τοὺς τῶν ζώντων βαθμοὺς διακρίνονται· ἔν τισι μὲν γὰρ τὸ φυτικὸν μόνον ἐστίν, ὡς ἐν φυτοῖς· ἔν τισι μετὰ τοῦ φυτικοῦ καὶ τὸ αἰσθητικόν, ἀλλ' οὐ τὸ κατὰ τόπον κινητικόν, ὡς ἐν τοῖς ἀκινήτοις ζῴοις, οἷαι αἱ κόγχαι· ἔν τισι καὶ τὸ κατὰ τόπον κινητικόν, ὡς ἐν τοῖς τελείοις ζῴοις, δεομένοις πλειόνων πρὸς τὸ ζῆν, ἃ πόρρω κείμενα πορίζεσθαι δύνανται τῇ κινήσει· ἔν τισι μετὰ τούτων ἔστι καὶ τὸ νοερόν, οἷον ἐν ἀνθρώποις. Τὸ δὲ ἐφιέμενον οὐ συνίστησι βαθμὸν ἐν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῖς οὖσιν· πᾶσι γὰρ καὶ ἔφεσις ἔνεστιν, οἷς αἴσθησις ἐνυπάρχει, ὡς ἐν τρίτῳ περὶ ψυχῆς λέγεται.

2. Ὅτι μέρη τῆς φυτικῆς ψυχῆς, τρία· θρεπτικόν, αὐξητικὸν καὶ γεννητικόν. Τὸ γὰρ φυτικὸν αὐτὸ τὸ ζῶν σῶμα ὡς ἀντικείμενον ἔχει, κατὰ τὰ εἰρημένα, πρὸς ὅπερ σῶμα ἡ τῆς ψυχῆς ἐνέργεια τριχῶς ἀναγκαία, καὶ διὰ τοῦτο τριπλῆ· πρώτη μέν, δι' ἧς τυγχάνει τοῦ εἶναι, καὶ πρὸς τοῦτο ἡ γεννητικὴ δύναμις τέτακται· ἄλλη δι' ἧς τὸ ζῶν σῶμα λαμβάνει τὴν ὀφειλομένην ποσότητα, καὶ πρὸς τοῦτο ἡ αὐξητικὴ δύναμις τέτακται· ἄλλη δέ, δι' ἧς τὸ ζῶν σῶμα συντηρεῖται ἐν τῷ εἶναι καὶ ἐν τῇ ὀφειλομένῃ ποσότητι, καὶ πρὸς τοῦτο ἡ θρεπτικὴ δύναμις· ὧν ἡ μὲν θρεπτικὴ καὶ αὐξητική, ἐν ᾧ εἰσι σώματι, ἔχουσι τὸ ἴδιον ἀποτέλεσμα, ἡ δὲ γεννητικὴ ἐν ἑτέρῳ· οὐδὲν γάρ ἐστι γεννητικὸν ἑαυτοῦ, καὶ διὰ τοῦτο αὕτη ἐγγύς ἐστι, τῷ ἀξιώματι, τῆς αἰσθητικῆς ψυχῆς, ἐχούσης τὴν ἐνέργειαν εἰς τὰ ἔξω, εἰ καὶ ὑψηλότερον καὶ ὀλιγώτερον τρόπον. Ἀρχοειδεστέρα τοίνυν ἡ γεννητική· τοῦ γὰρ τελείου ποιεῖν ἄλλο οἷον αὐτό· καὶ δουλεύουσιν αἱ δύο αὐτῇ, τῇ δὲ αὐξητικῇ πάλιν ἡ θρεπτική.

Αἱ τοιαῦται δὲ δυνάμεις καὶ φυσικαὶ λέγονται, ὅτι ἔχουσιν ἀποτέλεσμα ὅμοιον τῇ φύσει τῇ διδούσῃ τὸ εἶναι καὶ τὴν ποσότητα καὶ τὴν συντήρησιν, εἰ καὶ ὑψηλότερον τρόπον αὗται, ὡς ἀρχὴ τῶν φυσικῶν ἐνεργειῶν.

2. Ὅτι καλῶς αἱ ἔξωθεν αἰσθήσεις πέντε εἰσίν. Ὁ λόγος τῆς διακρίσεως f. 251 καὶ τοῦ ἀριθμοῦ ἐκ τοῦ κυρίως καὶ καθ' αὑτὸ τῇ αἰσθήσει προσήκοντος εἴληπται. Ἔστι δὲ ἡ τῆς αἰσθήσεως δύναμις παθητική, πεφυκυῖα μεταβάλλεσθαι ὑπὸ τῶν ἔξωθεν αἰσθητῶν, καὶ τὸ ἔξωθεν μεταβλητικὸν αὐτῆς τὸ καθ' αὑτό ἐστιν αἰσθητόν, καὶ οὐ καθ' αὑτὴν ἡ αἴσθησις ἀντιλαμβάνεται· οὗ τῇ διακρίσει αἱ αἰσθητικαὶ διακρίνονται δυνάμεις. Ἔστι δὲ ἡ μεταβολὴ διπλῆ· μία μὲν φυσική, καθὸ τὸ μεταβάλλον εἶδος γίνεται ἐν τῷ μεταβαλλομένῳ κατὰ τὸ φυσικὸν εἶναι, ὡς ἡ θέρμη ἐν τῷ θερμανθέντι· ἑτέρα δὲ ἀσώματος, καθὸ τὸ μεταβάλλον εἶδος γίνεται ἐν τῷ μεταβαλλομένῳ κατὰ τὸ ἀσώματον εἶναι, ὡς τὸ εἶδος τοῦ χρώματος ἐν τῇ κόρῃ, ἥτις διὰ τοῦτο οὐ γίνεται κεχρωσμένη. Πρὸς δὲ τὴν τῆς αἰσθήσεως ἐνέργειαν ἀναγκαῖόν ἐστιν ἡ ἀσώματος μεταβολή, δι' ἧς ἐν τῷ τῆς αἰσθήσεως ὀργάνῳ γίνεται τὸ αἰσθητὸν εἶδος. Ἀλλ' ἔν τισι μὲν τῶν αἰσθήσεων μόνη αὕτη εὑρίσκεται, ὡς ἐπὶ τῆς ὄψεως· ἔν τισι δὲ μετὰ ταύτης καὶ ἡ φυσική, ἢ ἐκ τοῦ ἀντικειμένου, ἢ ἐκ τοῦ ὀργάνου· ἐκ μὲν τοῦ ἀντικειμένου, ἢ κατὰ τόπον ἐν τῷ ψόφῳ, ὅς ἐστι τῆς ἀκοῆς ἀντικείμενον αἰτίαν ἔχων τὴν τοῦ ἀέρος πληγὴν καὶ τὴν κίνησιν· ἢ κατὰ ἀλλοίωσιν ἐν τῷ ὀσφραντῷ, ὅ ἐστι τῆς ὀσφρήσεως ἀντικείμενον. Ἀνάγκη γὰρ διὰ τοῦ θερμοῦ τὸ σῶμα ἀλλοιωθῆναι τινὰ τρόπον, ὥστε ὀσμὴν ἀποπνεῦσαι. Ἐκ δὲ τοῦ ὀργάνου εὑρίσκεται μεταβολὴ φυσικὴ ἐν τῇ ἁφῇ καὶ τῇ γεύσει· ὡς γὰρ ἡ τοῦ θερμοῦ ἁπτομένη ἁφὴ θερμαίνεται, καὶ ἡ γλῶσσα ὑγραίνεται τῇ τῶν χυμῶν

Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὑγρότητι. Τὸ δὲ ὄργανον τῆς ὀσφρήσεως ἢ τῆς ἀκοῆς οὐδεμιᾷ φυσικῇ μεταβολῇ μεταβάλλεται ἐν τῷ αἰσθάνεσθαι, εἰ μὴ κατὰ συμβεβηκός. Ἡ δὲ ὄψις, ἄνευ μεταβολῆς τινος οὖσα φυσικῆς τοῦ ὀργάνου καὶ τοῦ ἀντικειμένου, μάλιστα ἀσώματος καὶ τελειοτάτη καὶ κοινοτάτη πασῶν τῶν αἰσθήσεων· μετ' αὐτὴν δὲ ἡ ἀκοή, ἐφεξῆς δὲ ἡ ὄσφρησις· ἐπεί, ἡ κατὰ τόπον κίνησις τῆς κατὰ ἀλλοίωσιν τελειοτέρα καὶ φύσει προτέρα, ὡς ἐν ὀγδόῳ τῶν Φυσικῶν. Ἡ δὲ ἁφὴ καὶ γεῦσις μάλιστα ὑλικαί. Ἔστι δὲ ἡ γεῦσις ἁφή τις· ἡ μὲν γὰρ ἁφὴ μεταβάλλεται τῇ ποιότητι, ἥτις ἐστὶν αὐτῆς ἀντικείμενον· ἡ δὲ γεῦσις οὐ μεταβάλλεται φυσικῇ μεταβολῇ τῇ ἀντικειμένῃ ποιότητι, ὡς γίνεσθαι γλυκεῖαν ἢ πικρὰν τὴν γλῶσσαν, ἀλλὰ τῇ προηγου-
f. 251ᵛ μένῃ ποιότητι, ἐν ᾗ ὁ χυμός, καὶ τῇ | ὑγρότητι, ἥ ἐστιν ἀντικείμενον τῆς ἁφῆς.

4. Ὅτι προσηκόντως διακρίνονται αἱ ἔνδον αἰσθήσεις. Τῆς γὰρ φύσεως ἐν τοῖς ἀναγκαίοις οὐκ ἀσθενούσης, ἔδει δυνάμεις εἶναι τοσαύτας τῆς αἰσθητικῆς ψυχῆς ἐξ ὧν ἐνέργειαι προελεύσονται, ὅσαι πρὸς τὴν ζωὴν τοῦ τελείου ζῴου ἀρκοῦσιν· πρὸς ταύτην δὲ ζητεῖται οὐ μόνον ἡ παρόντος τοῦ αἰσθητοῦ ἀντίληψις, ἀλλὰ καὶ ἀπόντος, ὃ ζητεῖν κινεῖται τὸ ζῷον, ὥστε οὐ μόνον δεῖν δέχεσθαι τὰ εἴδη τὰ αἰσθητά, ἀλλὰ καὶ κατέχειν καὶ συντηρεῖν· καὶ οὐ μόνον τῶν ἡδέων καὶ φοβερῶν ἡ ἀντίληψις, ἀλλὰ καὶ τῶν ἄλλως ὠφελίμων. Πρὸς μὲν οὖν τὴν ὑποδοχὴν τῶν αἰσθητῶν εἰδῶν τάττεται ἡ ἰδία αἴσθησις καὶ κοινή, ἡ μὲν κρίνουσα περὶ τοῦ ἰδίου αἰσθητοῦ τῷ διακρίνειν αὐτὸ τῶν ἄλλων τῶν τῇ αὐτῇ αἰσθήσει ὑποπιπτόντων· ἡ δὲ κρίνουσα τὰ διάφορα αἰσθητὰ καὶ διακρίνουσα, πρὸς ἣν ὥσπερ εἰς κοινὸν ὅρον ἀναφέρονται πᾶσαι αἱ ἀντιλήψεις τῶν αἰσθήσεων, καὶ ὑφ' ἧς γινώσκονται καὶ αἱ ἐνέργειαι τῶν αἰσθήσεων, ὥσπερ ὅταν τις ὁρᾷ, γινώσκει ἑαυτὸν ὅτι ὁρᾷ· τοῦτο γὰρ ἀδύνατον τῇ ἰδίᾳ αἰσθήσει γίνεσθαι· καὶ ἔστι κοινὴ ῥίζα καὶ ἀρχὴ τῶν ἔξω αἰσθήσεων. Πρὸς δὲ τὴν κατάσχεσιν ἢ συντήρησιν τῶν εἰδῶν, ἡ φαντασία ἢ εἰκασία, ἓν οὖσα, ὥσπερ τις θησαυρὸς τῶν τῇ αἰσθήσει ληφθέντων εἰδῶν. Πρὸς δὲ τὸ ἀντιλαμβάνεσθαι τῶν ἐννοιῶν τῶν διὰ τῆς αἰσθήσεως λαμβανομένων ἡ δοξαστικὴ δύναμις, ἐν μὲν τοῖς ἄλλοις ζῴοις φυσικῷ τινι μόνον νόμῳ ἀντιλαμβανομένοις τῶν τοιούτων ἐννοιῶν, ἐν δὲ τοῖς ἀνθρώποις διά τινος συναγωγῆς· διὸ καὶ διαλογισμὸς καὶ μερικὸς λόγος ἐν αὐτοῖς λέγεται, ᾧ καὶ ὡρισμένον ὄργανον ἀποδιδόασί τινες τὸ μέσον τῆς κεφαλῆς. Ἔστι γὰρ ἀθροιστικὸν τῶν ἀτόμων οὐσιῶν, ὡς ὁ νοερὸς λόγος τῶν καθόλου ἐννοιῶν. Πρὸς δὲ τὸ συντηρεῖν τὰς ἐννοίας ἡ μνημονευτικὴ τέτακται, θησαυρὸς οὖσα τῶν τοιούτων ἐννοιῶν, οὗ σημεῖον τὸ τὴν ἀρχὴν τοῦ μνημονεύειν ἐν τοῖς ζῴοις ἔκ τινος τοιαύτης αἰτίας γίνεσθαι, οἷον βλαβεροῦ ἢ οἰκείου. Καὶ αὐτὸς δὲ ὁ λόγος τοῦ παρελθόντος, ᾧ προσέχει ἡ μνήμη, ἐν ταῖς τοιαύταις ἐννοίαις ἀριθμεῖται· πλὴν τὰ μὲν ἄλλα ζῷα ἔχει μνήμην ἐν ἀθρόᾳ τινὶ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀναμνήσει τῶν παρελθόντων· ὁ δὲ ἄνθρωπος καὶ ἀνάμνησιν, ὥσπερ συλλογιστικῶς ζητῶν τὴν μνήμην τῶν παρελθόντων κατὰ τὰς ἀτόμους ἐννοίας. Τέσσαρες οὖν εἰσὶν οὕτω δυνάμεις ἔνδον τοῦ αἰσθητικοῦ μέρους· ἡ κοινὴ αἴσθησις, ἡ φαντασία, ἡ δόξα καὶ ἡ μνήμη.

## LXXIX. — Περὶ τῶν νοερῶν τῆς ψυχῆς δυνάμεων.

1. Ὅτι ὁ νοῦς δύναμίς τίς ἐστι τῆς ψυχῆς, ἀλλ' οὐχ αὐτὴ ἡ ταύτης f. 252 οὐσία· τότε γὰρ τῆς ἐνεργείας ἄμεσός ἐστιν ἀρχὴ αὐτὴ ἡ οὐσία τοῦ ἐνεργοῦντος πράγματος, ὅταν αὐτὴ ἡ ἐνέργεια ᾖ ἡ οὐσία αὐτοῦ· ὡς γὰρ ἡ δύναμις ἔχει πρὸς τὴν ἐνέργειαν ὡς ἰδίαν αὐτῆς ἐντελέχειαν, οὕτω καὶ ἡ οὐσία πρὸς τὸ εἶναι· ἐν δὲ μόνῳ τῷ Θεῷ ταὐτὸν τὸ εἶναι καὶ τὸ νοεῖν· ὅθεν καὶ ἐν αὐτῷ μόνῳ ὁ νοῦς ἐστιν ἡ οὐσία αὐτοῦ. Ἐν δὲ τοῖς ἄλλοις νοεροῖς κτίσμασιν ὁ νοῦς δύναμίς τίς ἐστι τῆς νοούσης οὐσίας, εἰ καὶ ἔστιν ὅτε ὅλη ἡ νοερὰ ψυχὴ ὀνομάζεται νοῦς, ὥσπερ ἐξ ἀρχοειδεστέρας αὐτῆς δυνάμεως, ὡς ἐν τῷ πρώτῳ περὶ ψυχῆς λέγεται, ὅτι ὁ νοῦς οὐσία τις ἐστίν.

2. Ὅτι παθητική ἐστι δύναμις ὁ νοῦς, διότι καὶ τὸ νοεῖν πάσχειν τί ἐστιν. Ἰστέον δὲ ὅτι τριχῶς τὸ πάσχειν· ἢ τὸ μετακινεῖσθαι τοῦ κατὰ φύσιν οἰκείου καὶ κατ' οἰκείαν ῥοπήν, ὡς τὸ ὕδωρ ἀποβάλλον τὴν ψυχρότητα θερμὸν γίνεται, καὶ ὅταν ὁ ἄνθρωπος νοσῇ ἢ λυπῆται, ἢ ὅταν τι ἀποβάλλῃ οἰκεῖον ἢ μὴ οἰκεῖον, ὥσπερ ὁ ὑγιαζόμενος, οὐ μόνον ὁ νοσῶν, καὶ ὁ ἡδόμενος, οὐ μόνον ὁ λυπούμενος, πάσχειν λέγεται, καὶ ὅλως πῃ ἀλλοιούμενος ἢ κινούμενος· ἢ ὅταν τὸ δυνάμει πρός τι ὂν δέχηται αὐτὸ ἄνευ τοῦ ἀποβάλλειν τι, ὡς τὰ ἐκ δυνάμεως εἰς ἐνέργειαν προϊόντα καὶ τελειούμενα. Καὶ οὕτως τὸ νοεῖν πάσχειν ἐστίν. Εὑρίσκεται μὲν γάρ τις νοῦς, ὁ θεῖος δηλονότι, οὕτως ἔχων πρὸς τὸ καθόλου ὂν ὡς ἐντελέχεια ὅλου τοῦ ὄντος, καὶ οὗτός ἐστιν ἡ θεία οὐσία, ἐν ᾗ αἰτιωδῶς καὶ κατὰ δύναμιν ὅλον τὸ ὂν προϋφίσταται, καὶ διὰ τοῦτο οὐκ ἔστιν ἐν δυνάμει ἀλλ' ἐνέργεια μόνον εἰλικρινής. Ὁ δὲ κτιστὸς νοῦς, πεπερασμένος τυγχάνων, οὐκ ἔστιν ἐντελέχεια πάντων τῶν νοητῶν, ἀλλὰ παραβάλλεται πρὸς αὐτὰ ὡς δύναμις πρὸς ἐντελέχειαν. Διχῶς δὲ ἔχει ἡ δύναμις πρὸς τὴν ἐνέργειαν· ἔστι γάρ τις δύναμις τελεία οὖσα διὰ τῆς ἐνεργείας ἀεί, ὥσπερ ἔφαμεν περὶ τῆς ὕλης τῶν οὐρανίων σωμάτων· ἔστι δέ τις δύναμις οὐκ ἀεὶ ἐνεργείᾳ οὖσα, ἀλλ' ἐκ δυνάμεως προϊοῦσα εἰς ἐνέργειαν, ὡς ἐπὶ τῶν γεννητῶν καὶ φθαρτῶν. Ὁ τοίνυν ἀγγελικὸς νοῦς ἀεί ἐστιν ἐνεργείᾳ περὶ τὰ ἴδια νοητὰ διὰ τὴν πρὸς τὸ πρῶτον νοητὸν ἐγγύτητα καὶ τὴν κυρίως ἐνέργειαν· ὁ δὲ ἀνθρώπινος, ἔσχατος ὢν ἐν τοῖς νοεροῖς καὶ τῆς τοῦ θείου νοῦ τελειότητος πορρωτέρω, δυνάμει ἐστὶ τῇ πρὸς τὰ νοητὰ παραθέσει, ὡς ἐν ἀρχῇ ἐστιν ὡς γραμματεῖον ἄγραφον, καὶ οὕτω τὸ νοεῖν ἡμῶν πάσχειν τί ἐστιν, ἤγουν δέχεσθαι καὶ τελειοῦσθαι κατὰ τὸ τρίτον σημαινόμενον, καὶ ὁ νοῦς, παθητικὴ δύναμις.

Ε.Υ.Δ της Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006

f. 252v 3. Ὅτι κατὰ μὲν τὸν Πλάτωνα, τιθέντα εἴδη κεχωρισμένα νοητά, ἃ καὶ ἰδέας ἐκάλει, ὧν τῇ μετοχῇ τὴν σωματικὴν εἰδοποιεῖσθαι κτίσιν, οὐκ ἂν ἦν ἀνάγκη τιθέναι τὸν ἐνεργείᾳ νοῦν πρὸς τὸ ποιεῖν νοητὰ ἐνεργείᾳ, ἀλλ' ἴσως πρὸς τὸ χορηγεῖν φῶς νοερὸν τῷ νοοῦντι. Κατὰ δὲ Ἀριστοτέλη τὰ εἴδη τῶν φυσικῶν οὐκ ἄνευ ὕλης ὑφεστάναι δύνασθαι λέγοντα, ἅπερ οὐδ' ἂν ἐνεργείᾳ νοητὰ εἴη, εἰ μὴ δυνάμει μόνον, ἀνάγκη τιθέναι τινὰ δύναμιν νοεράν, ἣ ποιήσει νοητὰ ἐνεργείᾳ τῷ ἀφαιρεῖν τὰ εἴδη τῶν ὑλικῶν ἰδιωμάτων· καὶ αὕτη ἐστὶν ὁ ἐνεργείᾳ νοῦς, ἐπεὶ οὐκ ἂν δύναιτό τι ἐκ δυνάμεως ἄγεσθαι εἰς ἐνέργειαν εἰ μὴ διά τινος ἐνεργείᾳ ὄντος.

Λέγεται δὲ καὶ ἐν τρίτῳ περὶ ψυχῆς, ὅτι ὥσπερ ἐστὶν ἐν πάσῃ φύσει, οὕτω κἀν τῇ ψυχῇ ἔστι τι ᾧ ἐστι πάντα γίνεσθαι, καὶ ἕτερον, ᾧ ἐστι πάντα ποιεῖν.

4. Ὅτι ὁ ἐνεργείᾳ νοῦς ἔστι τι τῆς ψυχῆς. Δεῖ γὰρ εἰδέναι, ὅτι ὑπὲρ τὴν νοερὰν ἀνθρωπίνην ψυχὴν ἀνάγκη τιθέναι νοῦν τινα ὑψηλότερον, παρ' οὗ δέχεται ἡ ψυχὴ τὴν τοῦ νοεῖν δύναμιν· ἀεὶ γὰρ τὸ μετέχον καὶ ἀτελὲς καὶ κινητὸν ἀπαιτεῖ πρὸ ἑαυτοῦ εἶναί τι κατὰ τὴν αὐτοῦ οὐσίαν τοιοῦτον, καὶ ἀκίνητον, καὶ τέλειον· ἡ δὲ ἀνθρωπίνη ψυχὴ λέγεται μὲν νοερά, ἀλλὰ κατὰ μετοχὴν δυνάμεως νοερᾶς, οὗ σημεῖον, ὅτι οὐχ ὅλη ἐστὶ νοερά, ἀλλὰ κατά τι μέρος αὐτῆς ἅπτεται τῆς ἀληθείας, μετά τινος μεταβάσεως καὶ κινήσεως ἐπιχειροῦσα. Ἔχει δὲ καὶ κίνησιν ἀτελῆ, τοῦτο μέν, ὅτι μὴ πάντα νοεῖ, τοῦτο δέ, ὅτι καὶ ἐν οἷς νοεῖ, ἐκ δυνάμεως εἰς ἐνέργειαν πρόεισιν. Ἀνάγκη ἄρα εἶναί τινα ὑψηλότερον νοῦν, δι' οὗ κινεῖται πρὸς τὸ νοεῖν ἡ ψυχή. Ὑπέθεντο τοίνυν τινὲς τοῦτον, κατ' οὐσίαν ὄντα κεχωρισμένον, εἶναι τὸν ἐνεργείᾳ νοῦν, ὃς ὥσπερ φωτίζων ποιεῖ τὰ φαντάσματα ἐνεργείᾳ νοητά. Ἀλλὰ καὶ δοθέντος εἶναί τινα νοῦν τοιοῦτον, ὅμως ἀνάγκη τιθέναι ἐν τῇ ἀνθρωπίνῃ ψυχῇ δύναμίν τινα ἐκ τοῦ ὑψηλοτέρου ἐκείνου καὶ μεθεκτοῦ νοῦ, δι' ἧς ἡ ἀνθρωπίνη ψυχὴ ποιεῖ νοητὰ ἐνεργείᾳ, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις φυσικοῖς τοῖς τελείοις, παρὰ τὰς καθόλου ποιητικὰς αἰτίας, εἰσὶ δυνάμεις αὐτοῖς ἑνοῦσαι ἐκ τῶν καθόλου ποιητικῶν προϊοῦσαι· οὐ γὰρ μόνον ὁ ἥλιος γεννᾷ τὸν ἄνθρωπον, ἀλλὰ κἀν τῷ ἀνθρώπῳ ἔστι τις γεννητικὴ δύναμις ἀνθρώπου· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τελείων ζῴων. Οὐδὲν δέ ἐστι τελειότερον ἐν τοῖς ὑποκάτω τῆς ἀνθρωπίνης ψυχῆς· ὅθεν ἀνάγκη λέγειν εἶναί τινα δύναμιν ἐν αὐτῇ
f. 253 ἐκ τοῦ ἀνωτέρου νοῦ | προϊοῦσαν, δι' ἧς φωτίζειν δυνήσεται τὰ φαντάσματα. Τοῦτο δὲ καὶ τῇ πείρᾳ γινώσκομεν συνιέντες ἑαυτῶν, χωριζόντων τὰ καθόλου εἴδη τῶν μερικῶν ἰδιωμάτων, ὅπερ ἐστὶ ποιεῖν ἐνεργείᾳ νοητά. Οὐδεμία δὲ ἐνέργεια οἰκεία ἐστί τινι, εἰ μὴ διά τινος ἀρχῆς εἰδικῶς ταύτῃ ἑνούσης. Ἀνάγκη ἄρα τὴν δύναμιν, τὴν οὖσαν ἀρχὴν ταύτης τῆς ἐνεργείας, εἶναί τι ἐν τῇ ψυχῇ, καὶ διὰ τοῦτο ὁ Ἀριστοτέλης φωτὶ παραβάλλει τὸν ἐνεργείᾳ νοῦν, ὅπερ ἔστι τι ἐν τῷ ἀέρι γινόμενον. Ὁ δὲ Πλάτων τὸν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

χωριστὸν νοῦν τὸν τὰς ἡμετέρας τυποῦντα ψυχὰς ἡλίῳ παρείκασεν· ὁ δὲ χωριστὸς νοῦς, καθ' ἡμᾶς, αὐτός ἐστιν ὁ Θεός, ὅς ἐστι δημιουργὸς τῆς ψυχῆς καὶ ἐν ᾧ μόνῳ μακαρία γίνεται. Ὅθεν ἐξ ἐκείνου ἡ ἀνθρωπίνη ψυχὴ τοῦ νοεροῦ μετέχει φωτός, ὡς ἐν τοῖς Ψαλμοῖς λέγεται· „Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε".

5. Ὅτι ὁ ἐνεργείᾳ νοῦς οὐκ ἔστιν εἷς ἐν πᾶσιν. Εἰ γὰρ μηδὲν ἦν τῆς ψυχῆς, ἀλλ' ἦν οὐσία τις χωριστή, εἷς ἂν ἦν πάντων ἀνθρώπων νοῦς χωριστός, καὶ τοῦτο νοοῦσιν οἱ τιθέντες ἕνα νοῦν ἐνεργείᾳ εἶναι. Εἰ δ' ἔστι τι τῆς ψυχῆς ὁ ἐνεργείᾳ νοῦς, ὥσπερ τις δύναμις αὐτοῦ, ἀνάγκη λέγειν πλείους εἶναι ἐνεργείᾳ νοῦς κατὰ τὸ πλῆθος τῶν ψυχῶν, αἳ πληθύνονται κατὰ τὸ τῶν ἀνθρώπων πλῆθος· ἀδύνατον γὰρ μίαν καὶ τὴν αὐτὴν τῷ ἀριθμῷ δύναμιν διαφόρων εἶναι οὐσιῶν. Ἔτι, εἰ ὥσπερ τι φῶς ἐστιν ὁ τοιοῦτος νοῦς, ὡς ἐν τρίτῳ περὶ ψυχῆς, εὔδηλον ὡς οὐκ ἔστι ταὐτὸν φῶς ἐν διαφόροις φωτιζομένοις.

Εἰ δὲ χωριστὸν αὐτὸν ὁ Φιλόσοφος λέγει, οὐχ ὡς οὐσίαν κεχωρισμένην, ἀλλ' ὡς τοῦ δυνάμει τιμιώτερον τῷ ἐνεργοῦντα εἶναι· τοῦ δὲ δυνάμει λεγομένου χωριστοῦ τῷ μὴ εἶναι ἐντελέχειαν ὀργάνου σωματικοῦ.

Εἰ δὲ ποιεῖ ὁ ἐνεργείᾳ νοῦς τὸ καθόλου, χωρίζων τῆς ὕλης ἓν ὄν, καὶ διὰ τοῦτο εἷς ἐστιν, ἡ ἑνότης αὕτη οὐ τὸ εἶναι ἐν πᾶσιν ἕνα ἐστίν, ἀλλὰ τὸ εἶναι ἕνα τῇ σχέσει πάντων ἀφ' ὧν ἀφαιρεῖται τὸ καθόλου, ὧν τῇ παραθέσει καὶ τὸ καθόλου ἕν ἐστιν· συμβαίνει δὲ τῷ νῷ τοῦτο ᾗ ἐστιν ἄϋλος.

Καὶ ἡ ἐν τοῖς πρώτοις νοητοῖς τῶν ἀνθρώπων κοινωνία οὐ τὴν ἑνότητα τοῦ ἐνεργείᾳ νοῦ δείκνυσιν, ὃν Ἀριστοτέλης ἀπεικάζει φωτί, ἀλλὰ τὴν ἑνότητα τοῦ χωριστοῦ νοῦ, ὃν ὁ Πλάτων ἡλίῳ παρεικάζει, ὃς εἷς ὤν, καταλάμπει τὰς ἐν τοῖς ἀνθρώποις ἀρχὰς τῶν νοερῶν ἐνεργειῶν, αἵ εἰσιν οἱ δυνάμει λεγόμενοι νοῖ, | τῷ ἀριθμῷ τῶν ἀνθρώπων συμπληθυνόμενοι. f. 253v

6. Ὅτι ἡ μνήμη ἐν τῷ νοερῷ τῆς ψυχῆς ἐστι μέρει. Ἀκινήτως γὰρ ὁ νοῦς τὰ νοητὰ δέχεται εἴδη εἴτ' ἐκ τῶν αἰσθήσεων ληφθέντα, εἴτε καὶ παρά τινος ῥυέντα ὑψηλοτέρου νοῦ, εἰ μέντοι κατὰ μόνην τὴν θεωρητικὴν δύναμιν τῶν εἰδῶν ἡ μνήμη λαμβάνοιτο. Εἰ δ' ἐν τῷ λόγῳ τῆς μνήμης εἴη ὥστε ταύτης τὸ παρελθόν, ᾗ παρελθόν, ἀντικείμενον εἶναι, ἐν τῷ αἰσθητικῷ μόνον ἐστὶ μέρει, ὅπερ τῶν μερικῶν ἐστιν ἀντιληπτικόν· τὸ γὰρ παρελθόν, ᾗ τοιοῦτον, ἐν ὡρισμένῳ χρόνῳ σημαῖνον εἶναί τι, ἰδίωμά τι δηλοῖ τῶν μερικῶν.

7. Ὅτι ἡ νοερὰ μνήμη οὐκ ἔστιν ἄλλη δύναμις παρὰ τὸν νοῦν. Οὐδεμία γὰρ ἄλλη διαφορὰ δυνάμεων ἐν τῷ νῷ δύναται εἶναι εἰ μὴ ἡ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ· ἡ δὲ νοερὰ μνήμη ἡ αὐτή ἐστι τῷ νῷ·

---

4 Ps. 4, 7

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοῦ γὰρ λόγου τῆς παθητικῆς δυνάμεως ἐστὶ τὸ συντηρεῖν ὥσπερ καὶ τὸ δέχεσθαι.

Εἰ δὲ καὶ πρόεισιν ἡ νόησις ἐκ τῆς μνήμης, ἀλλ' ὥσπερ ἐνέργεια ἐκ τῆς ἕξεως, καὶ κατὰ τοῦτον τὸν τρόπον καὶ ἕπεται ταύτῃ, οὐ μέντοι ὥσπερ δυνάμει δύναμις διαφέρουσα.

8. Ὅτι ὁ λόγος οὐκ ἔστιν ἄλλη δύναμις παρὰ τὸν νοῦν. Νοεῖν μὲν γάρ ἐστι τὸ ἁπλῶς τῆς ἀληθείας ἀντιλαμβάνεσθαι· συλλογίζεσθαι δέ, τὸ ἐξ ἑνὸς νοηθέντος μεταβαίνειν εἰς ἕτερον, ὥστε τὴν νοερὰν ἀλήθειαν γνῶναι· καὶ διὰ τοῦτο οἱ ἄγγελοι, ἐπεὶ τελείως ὑπέρκεινται κατὰ τὸν τρόπον τῆς αὐτῶν φύσεως πρὸς τὴν γνῶσιν τῆς νοερᾶς ἀληθείας, ἀφ' ἑνὸς εἰς ἕτερον οὐ δέονται προϊέναι, ἀλλ' ἁπλῶς καὶ ἄνευ τινὸς μεταβάσεως τῆς ἀληθείας τῶν ὄντων ἀντιλαμβάνονται· οἱ δ' ἄνθρωποι, τῷ ἀφ' ἑνὸς εἰς ἕτερον προϊέναι, διὸ καὶ λογικοὶ λέγονται. Δῆλον ἄρα ὅτι τὸ συλλογίζεσθαι οὕτω πρὸς τὸ νοεῖν παραβάλλεται ὡς τὸ κινεῖσθαι πρὸς τὸ ἠρεμεῖν, ἢ τὸ ζητεῖν πρὸς τὸ ἔχειν, ὧν θάτερον μὲν τοῦ τελείου, τὸ δὲ λοιπὸν ἀτελοῦς· καὶ ἐπεὶ ἡ κίνησις ἀεὶ ἐκ τοῦ ἀκινήτου πρόεισιν καὶ πρός τι ἠρεμοῦν τελευτᾷ, ὡς ὁ ἀνθρώπινος συλλογισμὸς ἐν τῇ ὁδῷ τῆς ζητήσεως, ἢ εὑρέσεως πρόεισιν ἀπό τινων ἁπλῶς νοηθέντων, ἅ εἰσιν αἱ πρῶται ἀρχαί· καὶ πάλιν ἐν τῇ τῆς κρίσεως ὁδῷ ἀναλύων ἐπάνεισιν εἰς τὰς πρώτας ἀρχάς, πρὸς ἃς τὰ εὑρεθέντα παραβάλλων βασανίζει. Εἰ οὖν τὸ ἠρεμεῖν καὶ κινεῖσθαι πρὸς μίαν ἀνάγονται δύναμιν κἂν τοῖς ὑλικοῖς· τῇ αὐτῇ γὰρ φύσει κινεῖταί τι εἰς τὸν τόπον καὶ μένει ἐν τῷ τόπῳ· πολλῷ μᾶλλον τῇ αὐτῇ δυνάμει νοοῦμεν καὶ συλλογιζόμεθα.

f. 254 9. Ὅτι ὁ ὑψηλότερος καὶ ταπεινότερος λόγος οὐκ εἰσὶ δύο δυνάμεις. Ἔστι δὲ κατὰ Αὐγουστῖνον ὑψηλότερος μὲν ὁ τοῖς ἀϊδίοις προσέχων, καὶ θεωρῶν μὲν αὐτά, ᾗ καθ' ἑαυτὰ θεωροῦνται, βουλευόμενος δὲ ἀπ' αὐτῶν τῷ λαμβάνειν κανόνας τῶν πρακτέων· ταπεινότερος δὲ ὁ τοῖς ἐν χρόνῳ προσέχων πράγμασιν. Τὰ δὲ ἀΐδια καὶ τὰ ἔγχρονα ἐν τῇ ἡμετέρᾳ γνώσει ἔχουσιν ὡς μέσον ἑκάτερον πρὸς τὸ λοιπόν· ἐν γὰρ τῇ ὁδῷ τῆς εὑρέσεως διὰ τῶν ἐγχρόνων εἰς τὴν εὕρεσιν τῶν ἀϊδίων καταντῶμεν. Ἐν δὲ τῇ τῆς κρίσεως ὁδῷ διὰ τῶν ἀϊδίων ἤδη γνωσθέντων κρίνομεν περὶ τῶν ἐν χρόνῳ· καὶ ταῦτα κατὰ τοὺς κανόνας τῶν ἀϊδίων διατίθεμεν. Τὸ δὲ μέσον καὶ δι' οὗ πρὸς τὸ μέσον ἔστιν ἀφικνεῖσθαι, εἰς ἕξεις μὲν διαφόρους ἀνήκειν δύνανται, ὡς αἱ πρῶται ἀρχαὶ τοῦ νοῦ εἰσιν· τὰ δ' ἐξ αὐτῶν συμπεράσματα, τῆς ἐπιστήμης· ἀνήκουσι δὲ εἰς τὴν αὐτὴν τοῦ λόγου δύναμιν. Ἔστι γὰρ ἡ τοῦ λόγου ἐνέργεια ὥσπερ τις κίνησις, ἀφ' ἑνὸς εἰς ἕτερον διϊοῦσα· τὸ δ' αὐτό ἐστι κινητόν, ὃ τὸ μέσον διϊὸν ἀφικνεῖται ἐπὶ τὸν ὅρον. Ὅθεν μία εἰσὶν ἄμφω οἱ λόγοι δύναμις, διακρίνονται δὲ μόναις ταῖς ἐνεργείαις καὶ ταῖς διαφόροις ἕξεσι· τῷ μὲν γὰρ ἀποδίδοται ἡ σοφία τῷ ὑψηλοτέρῳ, τῷ δὲ λοιπῷ ἡ ἐπιστήμη.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

10. Ὅτι οὐδὲ ἡ νόησις ἄλλη δύναμις παρὰ τὸν νοῦν. Ἐν γὰρ τρίτῳ περὶ ψυχῆς λέγεται, ὅτι ἡ νόησις τῶν ἀδιαιρέτων ἐστίν, ἐν οἷς οὐκ ἔστι ψεῦδος· τὸ δὲ τὰ τοιαῦτα νοεῖν τοῦ νοῦ ἐστιν· διακρίνεται μέντοι ἡ νόησις τοῦ νοῦ, εἰ καὶ μὴ ὡς δύναμις δυνάμεως, ἀλλ' ὡς ἐνέργεια δυνάμεως.

11. Ὅτι οὐδὲ ὁ θεωρητικὸς νοῦς καὶ ὁ πρακτικὸς διάφοροι δυνάμεις εἰσίν. Ἐν γὰρ τρίτῳ περὶ ψυχῆς λέγεται, ὅτι ὁ θεωρητικὸς ἐκτεινάμενος γίνεται πρακτικός· μία δὲ δύναμις οὐ μεταβάλλει εἰς ἄλλην.

Ἔτι, τὸ συμβαῖνον τῷ λόγῳ τοῦ ἀντικειμένου, εἰς ὅπερ φέρεταί τις δύναμις, οὐ διάφορον ποιεῖ τὴν δύναμιν· τῇ γὰρ αὐτῇ ὀπτικῇ δυνάμει καταλαμβάνεται τὸ τὸν κεχρωσμένον ἄνθρωπον μικρὸν ἢ μέγαν εἶναι. Οὕτως οὖν οἱ δύο οὗτοι λεγόμενοι νοῖ οὐ διακρίνονται ὡς δυνάμεις διάφοροι, ἀλλὰ διότι ὁ μὲν θεωρητικὸς οὐ τάττει πρὸς ἔργον, ἀλλὰ μόνην τὴν θεωρίαν τῆς ἀληθείας· ὁ δὲ πρακτικὸς τοῦθ' οὗπερ ἀντιλαμβάνεται τάττει καὶ πρὸς τὸ ἔργον. Διαφέρουσι τῷ τέλει, ἐξ οὗ καὶ παρονομάζονται.

Εἰ δὲ τοῦ μὲν ἀντικείμενον τὸ ἀληθές, τοῦ δὲ τὸ ἀγαθόν, τὰ δὲ ἀντικείμενα καὶ τὴν δύναμιν ἐξαλλάττουσι, διάφορα ὄντα, ἀλλὰ τὸ ἀληθὲς καὶ τὸ ἀγαθὸν οὐ τοιαῦτά εἰσιν | ἀντικείμενα· περιέχουσι γὰρ ἄλληλα· f. 254v
ὡς γὰρ τὸ ἀληθὲς ἀγαθόν τι ἐστιν· οὐ γὰρ ἂν ἦν ἐφετόν· καὶ τὸ ἀγαθὸν ἀληθές ἐστιν· οὐ γὰρ ἂν ἦν νοητόν.

12. Ὅτι ἡ σύνθεσις οὐκ ἔστι νοερὰ δύναμις διακεκριμένη τῶν ἄλλων, ἀλλ' ὥσπερ ὁ νοῦς ἕξις λέγεται τῶν ἀρχῶν τῶν θεωρητῶν, οὕτω καὶ ἡ σύνθεσις ἕξις λέγεται τῶν ἀρχῶν τῶν πρακτῶν, αἵτινες φύσει ἡμῖν ἐνυπάρχουσιν, ὡς αἱ ἀρχαὶ τῶν θεωρητῶν. Ὅθεν καὶ ἡ σύνθεσις λέγεται παροτρύνειν εἰς τὸ ἀγαθὸν καὶ δυσχερῶς ἔχειν πρὸς τὸ κακόν, καθόσον διὰ τῶν πρώτων ἀρχῶν πρόϊμεν εἰς τὸ εὑρίσκειν καὶ τὰ εὑρεθέντα κρίνειν.

13. Ὅτι οὐδὲ ἡ συνείδησις δύναμίς τίς ἐστιν, ἀλλὰ μᾶλλον ἐνέργεια, ὃ μάλιστα φανερὸν ἐκ τῶν αὐτῇ ἀποδιδομένων· λέγεται γὰρ διαμαρτύρεσθαι, δεσμεῖν, ἐρευνᾶν, ἐγκαλεῖν, δάκνειν, ἐπιλαμβάνεσθαι· ταῦτα δὲ πάντα ἕπονται προσαγωγῇ τινι λογισμοῦ ἢ εἰδήσεως πρὸς ἐκεῖνα ἃ πράττομεν. Ἐπεὶ δ' ὅμως ἡ ἕξις ἀρχὴ τῆς ἐνεργείας ἐστίν, ἐνίοτε τὸ τῆς συνειδήσεως ὄνομα ἀποδίδοται τῇ πρώτῃ φυσικῇ ἕξει, τουτέστι τῇ συνέσει, καὶ ὁ Βασίλειος φυσικὸν αὐτὴν κριτήριον λέγει, καὶ ὁ Δαμασκηνός, νόμον τοῦ ἡμετέρου νοῦ· εἴωθε γὰρ αἱ αἰτίαι καὶ τὰ ἀποτελέσματα δι' ἀλλήλων καλεῖσθαι.

## LXXX. — Περὶ τῆς ἐφέσεως ἐν κοινῷ.

1. Ὅτι ἡ ἔφεσις εἰδική τις δύναμίς ἐστι τῆς ψυχῆς, ῥοπή τις οὖσα οὐ μόνον τοῦ φυσικοῦ εἴδους πρὸς τὰ οἰκεῖα αὐτῷ, ἀλλὰ καὶ τῆς νοερᾶς θελήσεως πρὸς τὰ νοητὰ διὰ τὸ τὸν ἄνθρωπον καὶ κατ' αἴσθησιν καὶ κατὰ νοῦν ζῆν.

2. Ὅτι ἡ αἰσθητικὴ ἔφεσις καὶ ἡ νοερὰ ἐν ἀνθρώπῳ εἰσὶ δυνάμεις



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

διάφοροι, καὶ ἔχουσιν ὡς ἡ ὑψηλοτέρα καὶ ταπεινοτέρα, ὧν ἡ ὑψηλοτέρα τὴν ταπεινοτέραν κινεῖ· ἡ γὰρ ἔφεσις δύναμίς ἐστι παθητική, ἣ πέφυκεν ὑπὸ τοῦ ἐφετοῦ κινεῖσθαι, καὶ διὰ τοῦτο διακρίνεται τῇ διακρίσει τῶν κινητικῶν καὶ ποιητικῶν· ἀνάλογον γὰρ δεῖ ἔχειν τὸ κινοῦν τῷ κινουμένῳ, καὶ τῷ ποιητικῷ τὸ πρακτικόν. Ἐπεὶ τοίνυν ἄλλου γένους τὸ κατ' αἴσθησιν ἀντιληπτὸν τοῦ κατὰ νοῦν ἀντιληπτοῦ, ἑπόμενόν ἐστι καὶ τὸ νοερὰν ἔφεσιν ἄλλην εἶναι τῆς αἰσθητικῆς.

## LXXXI. — Περὶ τῆς αἰσθητικῆς.

1. Ὅτι ἡ αἰσθητικὴ ἔφεσις, ἔφεσις μόνον ἐστὶ τῶν εἰς τὸ σῶμα ἀνηκόντων πραγμάτων, ἀλλ' οὐχὶ καὶ γνωστικὴ δύναμις.

2. Ὅτι αὕτη διαιρεῖται εἰς τὸ θυμικὸν καὶ ἐπιθυμητικὸν ὥσπερ εἴδη τινὰ αὐτῆς, μιᾶς οὔσης τῷ γένει. Ἀνάγκη γὰρ ἐν τῷ αἰσθητικῷ μέρει δύο
f. 255 ἐφέσεις εἶναι πρὸς τὴν | τοῦ ζῴου σύστασιν, μίαν, δι' ἧς ἡ ψυχὴ ῥέπει πρὸς τὸ διώκειν τὰ οἰκεῖα αὐτῇ κατ' αἴσθησιν καὶ φεύγειν τὰ βλαβερά· καὶ αὕτη λέγεται ἐπιθυμητική· ἄλλην δὲ δι' ἧς τὸ ζῷον ἀνθίσταται τοῖς πολεμοῦσι τοῖς οἰκείοις αὐτῷ καὶ ἐπάγουσι τὰ βλαβερά· καὶ αὕτη ἡ δύναμις καλεῖται θυμικόν. Αὗται δὲ αἱ δύο ῥοπαὶ οὐκ ἀνάγονται εἰς μίαν ἀρχήν, ἐπεὶ πολλάκις ἡ ψυχὴ λυπηρῶς ἑαυτὴν ἐμβάλλει κατὰ τῆς τοῦ ἐπιθυμητικοῦ ῥοπῆς, ἵνα κατὰ τὴν ῥοπὴν τοῦ θυμικοῦ πολεμήσῃ τῇ ἐναντίᾳ· ὅθεν καὶ τὰ πάθη τοῦ θυμικοῦ πολεμεῖν δοκοῦσι τοῖς τοῦ ἐπιθυμητικοῦ πάθεσιν. Ἀναφθεῖσα γὰρ ἡ ἐπιθυμία ἐλαττοῖ τὴν ὀργήν, καὶ τὸ ἀνάπαλιν, τῆς ὀργῆς ἀναφθείσης, ἡ ἐπιθυμία μειοῦται, ὡς ἐπὶ τὸ πλεῖστον. Δῆλον δὲ καὶ ὅτι τὸ μὲν θυμικὸν οἷον πρόβολός τίς ἐστι καὶ πρόμαχος τοῦ ἐπιθυμιτικοῦ, ἐπανιστάμενη τοῖς κωλύουσι τὰ οἰκεῖα, ὧν ἐφίεται τὸ ἐπιθυμητικόν, καὶ τοῖς ἐπιφέρουσι τὰ βλαβερά, ἃ φεύγει τὸ ἐπιθυμητικόν. Καὶ διὰ τοῦτο πάντα τὰ τοῦ θυμικοῦ πάθη ἐκ τῶν τοῦ ἐπιθυμητικοῦ ἄρχονται καὶ εἰς αὐτὰ τελευτῶσιν, ὥσπερ ὀργὴ ἐκ τῆς ἐπενεχθείσης λύπης γεννᾶται, καὶ ἀμυνομένη τελευτᾷ εἰς εὐφροσύνην· διὰ τοῦτο καὶ οἱ πόλεμοι ὑπὲρ τῶν ἐπιθυμητῶν εἰσιν, τουτέστι σιτίων καὶ ἀφροδισίων, καὶ μάλιστα τῶν ζῴων τῶν ἀλόγων.

3. Ὅτι τὸ θυμικὸν καὶ ἐπιθυμητικὸν ὑποτεταγμένα εἰσὶ τῷ λόγῳ καὶ τῇ θελήσει· τῷ μὲν λόγῳ ὅσον κατὰ τὰς αὐτῶν ἐνεργείας, διότι ὡς ἐν τοῖς ἀλόγοις ἡ αἰσθητικὴ ἔφεσις ὑπὸ τῆς φανταστικῆς κινεῖται δυνάμεως, ὡς τὸ πρόβατον φανταζόμενον τὸν λύκον, ἐχθρόν, δέδοικε καὶ φεύγει, οὕτως ἐν ἀνθρώπῳ κινεῖται ὑπὸ τῆς λογιστικῆς δυνάμεως, ἣ καὶ μερικὸς λόγος καλεῖται διὰ τὸ συμφορητικὸς εἶναι μερικῶν νοημάτων· αὐτὸς δὲ αὖ τῷ καθόλου ἰθύνεται λόγῳ, ὡς ἐν συλλογισμοῖς ἐκ τῶν καθόλου προτάσεων συνάγονται μερικὰ συμπεράσματα· καὶ ἐπεὶ τὸ τὰς καθόλου ἀρχὰς ἄγειν εἰς μερικὰ συμπεράσματα τοῦ λόγου ἐστίν, οὐ τοῦ ἁπλοῦ νοῦ, διὰ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοῦτο τὸ θυμικὸν καὶ ἐπιθυμητικὸν μᾶλλον λέγονται ὑπακούειν τῷ λόγῳ ἢ τῷ νῷ. Ταῦτα δὲ καὶ τῇ πείρᾳ δῆλον· ἕκαστος γὰρ ἡμῶν τῷ προσάγειν τοῖς πάθεσι καθόλου τινὰς λόγους πραοτέραν ποιεῖ τὴν ὀργὴν ἢ τὸν φόβον, ὥσπερ αὖ καὶ διερεθίζει. Τῇ δὲ θελήσει ὑπόκεινται ὅσον πρὸς τὴν ἀποπλήρωσιν τὴν διὰ τῆς κινητικῆς δυνάμεως γινομένην. Ἐν μὲν γὰρ τοῖς | ἀλόγοις αὐτίκα τῇ τοιαύτῃ ἐφέσει ἕπεται καὶ ἡ κίνησις, μηδεμιᾶς f. 255ᵛ ἐν αὐτοῖς ὑψηλοτέρας ἐναντιουμένης ἐφέσεως· ὁ δ' ἄνθρωπος οὐκ αὐτίκα κινεῖται κατὰ τὴν τοῦ θυμικοῦ καὶ ἐπιθυμητικοῦ ἔφεσιν.

Ἰστέον δὲ ὅτι ἡ μὲν ψυχὴ τοῦ σώματος ἄρχει δεσποτικῇ ἀρχῇ, πάντων τῶν αὐτοῦ μελῶν εὐθὺς κινουμένων ᾗ πέφυκε πρὸς τὴν ψυχῆς κίνησιν· ὁ δὲ νοῦς ἢ ὁ λόγος, τοῦ θυμικοῦ καὶ ἐπιθυμητικοῦ τῇ πολιτικῇ ἀρχῇ, ἐχόντων τι καὶ ἴδιον πρὸς ἐλευθέραν ἄνεσιν. Οὐ γὰρ μόνον ἐκ τῆς ὑποληπτικῆς δυνάμεως, ὡς ἐν τοῖς ἄλλοις ζῴοις, ἢ τῆς λογιστικῆς, ὡς ἐν ἀνθρώπῳ, ἀλλὰ καὶ ὑπὸ τῆς φαντασίας καὶ τῆς αἰσθήσεως, κινοῦνται· ὅθεν καὶ ἀνθίστανταί που τῷ λόγῳ διὰ τὸ αἰσθάνεσθαί τι ἢ φαντάζεσθαι ἡδύ, ὅπερ ὁ λόγος κωλύει, ἢ λυπηρὸν ὅπερ ὁ λόγος προστάττει· ἀλλὰ τὸ κατά τι ἀνθίστασθαι οὐκ ἀναιρεῖ τὸ ὑπακούειν αὐτῷ.

## LXXXII. — Περὶ τῆς θελήσεως.

1. Ὅτι τοῦ ἀναγκαίου ἢ τῆς ἀνάγκης τριχῶς λεγομένων· ἔστι γὰρ ἀνάγκη φυσικὴ καὶ ἀπολελυμένη ἔκ τινος ἐνδοτέρας ἀρχῆς τοῦ πράγματος, ὑλικῆς μέν, ὥσπερ ἀνάγκη τὸ ἐξ ἐναντίων συγκείμενον φθαρτὸν εἶναι, εἰδικῆς δέ, ὡς ἀνάγκη τὸ τρίγωνον τὰς τρεῖς γωνίας ἔχειν δυσὶν ὀρθαῖς ἴσας· ἔστιν ἡ τοῦ τέλους ἀνάγκη ἢ ἡ βίαιος διά τινα ἐξωτερικὴν ἀρχήν, εἴτε τέλος εἴη, ἢ ποιοῦν, ὥσπερ ἀναγκαῖον τὸ σιτίον πρὸς τὴν ζωήν, καὶ ὁ ἵππος πρὸς τὴν ὁδοιπορίαν· καὶ αὕτη ἐστὶν ἡ τοῦ τέλους, ἢ καὶ χρειώδης λέγεται· ἢ ὥσπερ βιάζεταί τις ὑπό τινος ὡς μὴ δύνασθαι τοὐναντίον ποιεῖν, καὶ αὕτη ἐστὶν ἡ τῆς βίας ἀνάγκη· ἡ μὲν τρίτη τῇ θελήσει παντάπασι μάχεται, καὶ οὐδὲν οὕτως ἀναγκαῖον ἤγουν βίαιον ὡς ἑκούσιον ἅμα δύναται εἶναι. Ἡ δὲ τοῦ τέλους ἀνάγκη οὐκ ἐναντία ἐστὶ τῇ θελήσει, ὅταν μὴ ᾖ αὐτοῦ τυχεῖν εἰ μὴ ἑνὶ τρόπῳ, ὥσπερ ἐκ τοῦ θέλειν διαπλεῦσαι πέλαγος ἀναγκαῖον θελῆσαι πλοῖον· ὁμοίως οὐδὲ ἡ φυσικὴ ἀνάγκη. Ἀναγκαίως μὲν οὖν ἡ θέλησις τῷ ἐσχάτῳ τέλει συμπέφυκεν, ὅ ἐστιν ἡ μακαριότης· οὕτω γὰρ ἔχει τὸ τέλος ἐν τοῖς πρακτικοῖς ὡς ἐν τοῖς θεωρητικοῖς ἡ ἀρχή· διὸ καὶ ὁ νοῦς συμπέφυκε ταῖς πρώταις ἀρχαῖς, καὶ ἡ θέλησις τῷ ἐσχάτῳ τέλει.

2. Ὅτι ἡ θέλησις οὐκ ἐξ ἀνάγκης θέλει ἅπερ ἂν θέλῃ. Ὥσπερ γὰρ ὁ νοῦς, καίτοι φύσει συμπεπλεγμένος ταῖς πρώταις ἀρχαῖς καὶ τοῖς ἐξ αὐτῶν συμπεράσμασιν, ὅμως ἐξ ἀνάγκης μὲν συγκατατίθεται τοῖς συμπεράσμασιν, ὧν ἀναιρουμένων αἱ πρῶται ἀναιροῦνται ἀρχαί, οἷον τοῖς



Ε.Υ.Δ της Κ.τ.Ι ΙΩΑΝΝΙΝΑ 2006

f. 256 ἀποδεικτικοῖς, ἀλλ' οὐδὲ τούτοις ἁπλῶς | καὶ πρὸ τοῦ τὴν τοιαύτην τῆς συμπλοκῆς ἀνάγκην δι' ἀποδείξεως γνῶναι· τοῖς δὲ ἐνδεχομένοις, ὧν ἀναιρουμένων οὐκ ἀναιροῦνται αἱ πρῶται ἀρχαί, οὐ συντίθεται ἐξ ἀνάγκης· οὕτω καὶ ἡ θέλησις τοῖς μερικοῖς ἀγαθοῖς, ἅπερ οὐκ ἀναγκαίως συμπλέκονται τῇ μακαριότητι διὰ τὸ καὶ χωρὶς ἐκείνων δύνασθαί τινα εἶναι ἀγαθόν, οὐκ ἀναγκαίως προσπέφυκεν· τοῖς δὲ ἀναγκαίως συμπλεκομένοις ἐξ ἀνάγκης προσπέφυκεν.

3. Ὅτι ἡ θέλησις καὶ ὁ νοῦς, εἰ καθ' ἑαυτὰ θεωροῖντο, ὑψηλότερός ἐστιν ὁ νοῦς ὅσῳ τὸ ἀντικείμενον τοῦ νοῦ ὑψηλότερον ἢ τὸ τῆς θελήσεως· τοῦ μὲν γὰρ αὐτός ἐστιν ὁ λόγος τοῦ ἐφετοῦ ἀγαθοῦ, κείμενος ἐν τῷ νῷ· τὸ δὲ ἐφετὸν ἀγαθὸν οὗ ὁ λόγος ἐν τῷ νῷ, τῆς θελήσεως ἀντικείμενον· καὶ ὅσῳ τι ἁπλούστερον καὶ μᾶλλον ἀπολελυμένον, τοσούτῳ καὶ τιμιώτερον. Ἁπλῶς μὲν οὖν καὶ καθ' αὑτὰ οὕτως· πῇ δὲ καὶ τῇ πρὸς ἕτερον παραθέσει, ἐνίοτε ἡ θέλησις ὑψηλοτέρα τοῦ νοῦ, διότι δηλονότι τὸ τῆς θελήσεως ἀντικείμενον ἐν ὑψηλοτέρῳ εὑρίσκεται πράγματι ἢ τὸ τοῦ νοῦ ἀντικείμενον. Ὅταν γὰρ τὸ πρᾶγμα, ἐν ᾧ ἐστι τὸ ἀγαθὸν τὸ ἀντικείμενον τῆς θελήσεως, τιμιώτερον ᾖ τῆς ψυχῆς, ἐν ᾗ ἐστιν ὁ νοούμενος λόγος τοῦ ἀγαθοῦ, ἀντικείμενον ὂν αὐτοῦ τοῦ νοῦ, τῇ πρὸς τὸ τοιοῦτον πρᾶγμα παραθέσει ὑψηλοτέρα ἐστὶν ἡ θέλησις τοῦ νοῦ. Ὅθεν καὶ βελτίων ἐστὶν ἡ τοῦ Θεοῦ ἀγάπη τῆς γνώσεως· ἀνάπαλιν δὲ βελτίων ἡ γνῶσις τῶν σωματικῶν πραγμάτων τῆς ἀγάπης· ἁπλῶς δὲ ὁ νοῦς τιμιώτερός ἐστι τῆς θελήσεως, ὅτι τὸ μὲν ἀντικείμενον αὐτοῦ ἐν αὐτῷ, τὸ ἀληθὲς καὶ τὸ ψεῦδος δηλαδή· τὸ δὲ τῆς θελήσεως, ἐν τοῖς πράγμασιν, ἤγουν τὸ ἀγαθὸν καὶ τὸ κακόν.

4. Ὅτι ἡ θέλησις κινεῖ τὸν νοῦν οὐχ ὡς τέλος· οὕτω γὰρ μᾶλλον ὁ νοῦς κινεῖ τὴν θέλησιν· τὸ γὰρ νοηθὲν ἀγαθὸν ἀντικείμενόν ἐστι τῆς θελήσεως καὶ κινεῖ ταύτην ὡς τέλος· ἀλλ' ὡς τὸ ποιοῦν, ὃν τρόπον κινεῖ τὸ ἀλλοιοῦν τὸ ἀλλοιούμενον, καὶ τὸ ὠθοῦν τὸ ὠθούμενον. Ἐν πάσαις γὰρ ταῖς ποιητικαῖς καὶ τεταγμέναις δυνάμεσιν ἡ εἰς τὸ καθόλου τέλος φερομένη δύναμις κινεῖ τὰς εἰς τὰ μερικὰ τέλη ἀφορώσας δυνάμεις, ὡς ἐπὶ τῶν φυσικῶν ὁ οὐρανὸς τὰ ὑποκάτω κινεῖ σώματα πρὸς τὴν καθόλου συντήρησιν τῶν γεννητῶν καὶ φθαρτῶν ἐνεργειῶν, ὧν τῶν ὑποκάτω ἕκαστον ἐνεργεῖ πρὸς τὴν συντήρησιν τοῦ οἰκείου εἴδους ἢ ἀτόμου. Ὁμοίως δὲ ἐπὶ τῶν πολιτικῶν ὁ βασιλεὺς τοὺς ἐπάρχους κινεῖ, τὸ κοινὸν ἀγαθὸν τῆς
f. 256v ἀρχῆς σκοπῶν, ἐκείνων ἑκάστου | τῷ μέρει τῆς δεδομένης ἀρχῆς τὴν οἰκείαν φροντίδα παρεχομένου. Οὕτω καὶ τῆς θελήσεως ἀντικείμενον τὸ ἀγαθόν ἐστι καὶ τὸ κοινὸν τέλος, καὶ διὰ τοῦτο ἡ βούλησις, ἀναλόγως ποιοῦντι, κινεῖ πάσας τὰς τῆς ψυχῆς δυνάμεις πρὸς τὰς ἑαυτῶν ἐνεργείας, πλὴν τοῦ φυτικοῦ μέρους καὶ τῶν φυσικῶν δυνάμεων, αἵτινες οὐχ ὑπόκεινται τῷ ἡμετέρῳ αὐτεξουσίῳ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

5. Ὅτι τὸ ἐπιθυμητικὸν καὶ θυμικὸν οὐκ εἰσὶ τῆς νοερᾶς ἐφέσεως μέρη, ἥτις λέγεται θέλησις. Ἡ μὲν γὰρ θέλησις εἰς τὸν κοινὸν τοῦ ἀγαθοῦ λόγον ἀφορᾶ, καὶ διὰ τοῦτο οὐ δυνατὸν ἐν αὐτῇ νοερᾷ οὔσῃ διαφόρους εἶναι δυνάμεις ἐπιθυμητικάς· τῆς δὲ αἰσθητικῆς ἐφέσεως κατὰ διαφόρους λόγους τῶν μερικῶν ἀντιλαμβανομένης διὰ τὸ τὴν αἴσθησιν τῶν μερικῶν εἶναι, οὐ τοῦ καθόλου, τὸ μὲν ἐπιθυμητικὸν ἀφορᾶ εἰς ἴδιον τοῦ ἀγαθοῦ λόγον καθὸ ἐστιν ἡδὺ κατ' αἴσθησιν καὶ οἰκεῖον τῇ φύσει· τὸ δὲ αὖ θυμικὸν ἀφορᾶ εἰς ἴδιον λόγον τοῦ ἀγαθοῦ, καθὸ ἐστιν ἀπωθητικὸν καὶ πολέμιον τοῦ βλαβὴν ἐπάγοντος.

## LXXXIII. — Περὶ αὐτεξουσίου.

1. Ὅτι ὁ ἄνθρωπος ἔχει τὸ αὐτεξούσιον. Ἄλλως γὰρ μάτην ἂν ἦσαν αἱ συμβουλαὶ καὶ αἱ ἐντολαὶ καὶ τὰ κωλύματα. Καὶ ἐν τῷ Ἐκκλησιαστῇ λέγεται· „Ὁ Θεὸς ἐν ἀρχῇ κατέστησε τὸν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ τῆς βουλῆς αὐτοῦ", τουτέστιν ἐν ἐξουσίᾳ τοῦ αὐτοπροαιρέτου, φησὶν ὁ ἐξηγητής.

Ἰστέον γὰρ ὅτι τινὰ μὲν χωρὶς κρίσεως ἐνεργοῦσιν, ὡς ὁ λίθος κινεῖται κάτω, καὶ τὰ γνώσεως ἐστερημένα πάντα· τινὰ δὲ κρίσει, ἀλλ' οὐκ αὐτεξουσίῳ καὶ ἐλευθέρᾳ· οὐ γὰρ μετὰ ψήφου, ἀλλ' ἐκ φυσικοῦ τινος ἔνδοθεν οἷον παροτρύνοντος, ὡς τὰ ἄλογα. Ὁ δ' ἄνθρωπος ἐνεργεῖ κρίσει διὰ τῆς γνωστικῆς δυνάμεως, καὶ διότι ἡ κρίσις αὕτη οὐκ ἐκ φυσικοῦ τινός ἐστι θεσμοῦ ἐν τῷ μερικῷ πρακτῷ, ἀλλ' ἐξ ἐπεισαγωγῆς τινος τοῦ λόγου, διὰ τοῦτο αὐτεξουσίως ἐνεργεῖ, δυνάμενος εἰς διάφορα φέρεσθαι, καὶ οὐ πρὸς ἕν τι ὡρισμένον. Οὐ μέντοι διὰ τοῦτο πρώτη αἰτία τῶν τοιούτων τοῦ ἀνθρώπου ἐνεργειῶν τὸ ἐλεύθερον, ἀλλ' ὁ Θεός, ὁ κινῶν καὶ τὰς φυσικὰς καὶ ἑκουσίους αἰτίας. Εἰ δὲ καὶ αἱ αἱρέσεις ἐφ' ἡμῶν εἰσιν, ὑποκειμένης μέντοι τῆς θείας βοηθείας, ἀλλ' ἡ ἀποπλήρωσις τῶν αἱρέσεων ἑκόντος ἄκοντος δύναται κωλυθῆναι ἐκ τῆς πρώτης αἰτίας.

2. Ὅτι τὸ αὐτεξούσιον δύναμίς ἐστιν. Οὐδὲν γάρ ἐστιν ὑποκείμενον ἕξεως εἰ μὴ ἡ δύναμις· τὸ δ' αὐτεξούσιον ὑποκείμενόν ἐστι τῆς χάριτος, ἧς βοηθούσης, αἱρεῖται τὸ ἀγαθόν.

3. Ὅτι δύναμίς ἐστιν ἐπιθυμητική, οὐ γνωστική· αἵρεσις γάρ ἐστιν, f. 257
πρὸς ἣν συντελεῖ μὲν ἡ γνωστικὴ δύναμις τῷ βουλεύσασθαι καὶ κρῖναι τί δεῖ τοῦ ἑτέρου προτιμῆσαι· συντελεῖ δὲ ἡ ἔφεσις τῷ ἐφίεσθαι προσδέξασθαι τὸ διὰ τῆς βουλῆς κριθέν. Ἀλλὰ μᾶλλόν ἐστιν ἐπιθυμητικὴ ἢ γνωστική· ἴδιον γὰρ ἀντικείμενον τοῦ λόγου τῆς αἱρέσεως ἐστὶ τὸ πρὸς τὸ τέλος· τοῦτο δὲ ᾗ τοιοῦτον ἀγαθοῦ λόγον ἔχει διὰ τὸ εἶναι χρήσιμον. Ὅθεν ἐπεὶ τὸ ἀγαθὸν ᾗ τοιοῦτον τῆς ἐφέσεως ἀντικείμενον, ἕπεται καὶ

---

14 Eccli. 15, 14    19 *ἐλευθέρα* sic A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006